ὧν ἡ γνῶσις ἢ ἄγνοια ποιεῖ τὸ ἑκούσιον καὶ ἀκούσιον ἐν ταῖς πράξεσιν, ἐξ ὧν τὸ ἔμμισθον ἢ κατακριτέον.

3. Τρίτον, ὅτι δεόντως ἀριθμοῦνται αἱ περιστάσεις· ἢ γὰρ αὐτῆς τῆς ἐνεργείας ἅπτεται ἡ περίστασις, καὶ τοῦτο διχῶς, ἢ ὡς μέτρον, ὥσπερ ὁ τόπος καὶ ὁ χρόνος· ἢ ὡς ποιότης τῆς ἐνεργείας, καὶ ἔστιν ὁ τρόπος· ἢ τοῦ ἀποτελέσματος ἅπτεται, καὶ ἔστι τὸ τί· ἢ τοῦ αἰτίου τῆς ἐνεργείας, κατὰ μὲν τὴν τελικὴν τὸ διὰ τί· κατὰ δὲ τὴν ὑλικὴν ἢ τὸ ἀντικείμενον, τὸ περὶ ὅ· κατὰ δὲ τὴν ποιητικήν, ὡς μὲν ἀρχικήν, τὸ τίς· ὡς δὲ ὀργανικήν, τίσι βοηθήμασιν. Ταῦτα δέ ἐστι· τίς, τί, ποῦ, διὰ τίνων, τίνι, πῶς, πότε. Τὸ δὲ περὶ ὃ τοῦ Φιλοσόφου ταὐτόν ἐστι τῷ τί τοῦ Τουλλίου.

4. Τέταρτον, ἀρχοειδέσταται καὶ τῶν περιστάσεων ἡ τίνος ἕνεκα καὶ τί ἐστι τὸ ποιούμενον.

## VIII. — Περὶ θελήσεως, τίνων ἐστὶν ὡς θελητῶν.

1. Καὶ πρῶτον, ὅτι ἡ θέλησις μόνον τοῦ ἀγαθοῦ ἐστιν, τοῦ Διονυσίου ἐν τῷ περὶ θείων ὀνομάτων λέγοντος, ὅτι τὸ κακὸν παρὰ τὴν θέλησίν ἐστι, καὶ ὅτι πάντα τοῦ ἀγαθοῦ ἐφίεται.

Ἔτι, ὡς ἡ φυσικὴ ἔφεσις ἕπεται εἴδει τινὶ ἐν φύσει ὑφεστῶτι, οὕτως ἡ τῆς θελήσεως | τῷ νοηθέντι εἴδει· διὸ τὸ μὲν ἐφ' ὃ ἐκείνη ῥέπει ἀγαθόν f. 90 ἐστιν ἐν πράγματι ὑφεστώς· τὸ δὲ ἐφ' ὃ αὕτη, νοηθέν ἐστιν ἀγαθόν· καὶ διὰ τοῦτο φησὶν ὁ Φιλόσοφος, ὅτι τὸ τέλος ἢ τὸ ἀγαθόν ἐστιν, ἢ τὸ δοκοῦν ἀγαθόν.

2. Δεύτερον, ὅτι ἡ θέλησις καὶ τῶν πρὸς τὸ τέλος ἐστίν. Ἐν γὰρ τοῖς φυσικοῖς τῇ αὐτῇ δυνάμει δίεισι τὰ μέσα καὶ πρὸς τὸν ὅρον ἀφικνεῖται· ἀλλὰ τὰ πρὸς τὸ τέλος ὥσπερ τινὰ μέσα εἰσίν, δι' ὧν εἰς τὸ τέλος καὶ εἰς ὅρον τινὰ ἀφικνεῖται.

Ἔτι, ἡ μὲν θέλησις, ἀντὶ τῆς δυνάμεως νοουμένη ᾗ θέλομεν, καὶ ἀμφοτέρων ἐστίν· πᾶσα γὰρ δύναμις ἐκτείνει ἑαυτὴν πρὸς πάντα ἐν οἷς ἀμηγέπῃ ὁ λόγος τοῦ ἰδίου ἀντικειμένου εὑρίσκεται, ὥσπερ ἐπὶ τῆς ὄψεως· ὡς δὲ καὶ ὁ τοῦ ἀγαθοῦ λόγος, ὅς ἐστι τῆς θελήσεως ἀντικείμενον, καὶ ἐν τοῖς τέλεσι καὶ ἐν τοῖς πρὸς ταῦτα εὑρίσκεται. Ἀντὶ δὲ τῆς ἐνεργείας νοουμένη, τοῦ τέλους μόνον ἐστίν· τοῦτο γάρ ἐστι δι' αὑτὸ θελητόν, πρὸς ὃ φέροιτο ἂν ἡ ἁπλῆ τῆς δυνάμεως ἐνέργεια, ὡς τοῦτο ὂν καθαυτὸ τῆς δυνάμεως ἀντικείμενον· ὃ γὰρ καὶ ἐν τοῖς πρὸς τὸ τέλος ἡ θέλησις θέλει τὸ τέλος ἐστίν, ὥσπερ καὶ τὸ νοεῖν κυρίως τῶν καθαυτὰ γινωσκομένων ἐστίν, τῶν ἀρχῶν δηλονότι· τῶν δὲ διὰ τῶν ἀρχῶν γινωσκομένων οὐ λέγεται εἶναι νόησις, εἰ μὴ καθόσον ἐν τούτοις αὗται γινώσκονται αἱ ἀρχαί. Οὕτω γὰρ ἔχει τὸ τέλος ἐν τοῖς ἐφετοῖς ὡς ἡ ἄμεσος ἀρχὴ ἐν τοῖς θεωρητοῖς, ὡς λέγεται ἐν ἕκτῳ τῶν ἠθικῶν.

3. Τρίτον, ὅτι οὐ τῇ αὐτῇ τῆς θελήσεως ἐνεργείᾳ φέρεταί τι εἰς τὸ

ΙΩΑΝΝΙΝΑ 2006

τέλος καὶ τὰ πρὸς τὸ τέλος· διάφορα γὰρ γένει εἰσὶν ἐν τῷ ἀγαθῷ· αἱ δὲ ἐνέργειαι κατὰ τὰ ἀντικείμενα διαφέρουσιν.

Ἰστέον δὲ ὅτι διχῶς ἡ θέλησις εἰς τὸ τέλος φέρεται, ἢ ἀπολελυμένως καὶ καθαυτό, ἢ ὥσπερ ἐν αἰτίᾳ τοῦ θέλειν τὰ πρὸς τὸ τέλος· καὶ οὕτως δύο εἰσὶν ἐνέργειαι τῆς θελήσεως, ἔστιν ὅτε καὶ χρόνῳ μεριζόμεναι, ὥσπερ
f. 90v ὅταν τις θέλῃ πρῶτον τὴν ὑγείαν, καὶ μετὰ ταῦτα | κυροῖ πῶς δυνατὸν ὑγιασθῆναι, καὶ θέλει μισθώσασθαι ἰατρόν, ἵνα τὴν ὑγείαν τύχῃ, ὡς καὶ περὶ τὸν νοῦν πρῶτον νοεῖ τις τὰς ἀρχὰς καθ' αὐτάς, ἔπειτα ταύτας καὶ ἐν αὐτοῖς νοεῖ τοῖς συμπεράσμασιν, καθὸ διὰ τὰς ἀρχὰς αὐτὰς συντίθεται.

Ἔτι, τὸ χρῶμα καὶ τὸ φῶς τῇ αὐτῇ ἐνεργείᾳ ὁρᾶται· δυνατὸν μέντοι τὸ φῶς ὁρᾶσθαι ἄνευ τοῦ τὸ χρῶμα ὁρᾶσθαι· ὡς δὲ καὶ ἐπὶ τῆς θελήσεως ἀεὶ μετὰ τῶν πρὸς τὸ τέλος καὶ τὸ τέλος θέλει, ἀλλ' οὐ τὸ ἀνάπαλιν.

## IX. — Ὑπὸ τίνος ἡ θέλησις κινεῖται.

1. Πρῶτον, ὅτι ἡ θέλησις κινεῖται ὑπὸ τοῦ νοῦ· ὁ γὰρ Φιλόσοφος ἐν τρίτῳ περὶ ψυχῆς τὸ ἐφετὸν νοηθέν, φησίν, ἔστι κινοῦν, οὐ κινούμενον· ἡ δὲ θέλησίς ἐστι κινοῦν κινητόν.

Ἔτι, ἡ τεχνικὴ δύναμις, ἧς ἐστι τὸ καθόλου τέλος, κινεῖ πρὸς τὸ ἐνεργεῖν τὴν δύναμιν καὶ τὴν τέχνην, ἧς ἐστι τὸ μερικὸν τέλος τὸ ὑπ' ἐκεῖνο τὸ καθόλου περιεχόμενον, ὡς φαίνεται ἐν τῷ στρατεύματι ἐπὶ τοῦ ἡγεμόνος καὶ λοχαγοῦ, καὶ ἐν τῇ κυβερνητικῇ καὶ ναυπηγικῇ· καὶ τὸ ἀντικείμενον δὲ κινεῖ, ὁρίζον τὴν ἐνέργειαν κατὰ τὸν τρόπον τῆς εἰδικῆς ἀρχῆς, ὑφ' ἧς ἐν τοῖς φυσικοῖς ἡ ἐνέργεια εἰδοποιεῖται, ὥσπερ ὑπὸ τῆς θέρμης ἡ θέρμανσις· εἰδικὴ δὲ ἀρχὴ πρώτη τὸ ὂν ἐστι καὶ τὸ καθόλου ἀληθές, ὅ ἐστι τοῦ νοῦ ἀντικείμενον, καὶ διὰ τοῦτο κατὰ τοῦτον τῆς κινήσεως τρόπον ὁ νοῦς κινεῖ τὴν θέλησιν, ὥσπερ ὑπ' ὄψιν ἄγων αὐτῇ τὸ ἴδιον ἀντικείμενον.

2. Δεύτερον, ὅτι δύναται κινεῖσθαι καὶ ὑπὸ τῆς αἰσθητικῆς ἐφέσεως, καὶ ταπεινοτέρας οὔσης, διὰ τὸ τὸν ἄνθρωπον ὑπὸ τῆς αἰσθητικῆς μεταβάλλεσθαι ἐφέσεως κατά τι πάθος· καὶ διὰ τοῦτο τῷ ὠργισμένῳ δοκεῖ τι ἀγαθὸν οἰκείως τῇ ἐμπαθεῖ διαθέσει, ὅπερ οὐκ ἂν δόξειε καθεστῶτι· οἷος δέ ἐστιν ἕκαστος, τοιοῦτον αὐτῷ καὶ τὸ τέλος δοκεῖ, φησὶν ὁ Φιλόσοφος ἐν τρίτῳ τῶν ἠθικῶν.

3. Τρίτον, ὅτι καὶ ὑφ' ἑαυτῆς κινεῖται· διὰ γὰρ τοῦ θέλειν τὸ τέλος κινεῖ ἑαυτὴν πρὸς τὸ θέλειν τὰ πρὸς τὸ τέλος.

4. Τέταρτον, ὅτι κινεῖσθαι δύναται καὶ ὑπό τινος ἔξωθεν· πᾶν γὰρ τὸ ποτὲ μὲν ἐντελεχείᾳ ἐνεργοῦν, ποτὲ δὲ δυνάμει δεῖται ὑπό τινος κινεῖσθαι
f. 91 | κινοῦντος· ἡ δὲ θέλησις ἄρχεται θέλειν τι, ὅπερ οὐκ ἤθελε πρότερον διὰ συμβουλῆς.

5. Πέμπτον, ὅτι οὐ κινεῖται ὑπὸ τοῦ οὐρανίου σώματος κυρίως· οὐδὲν γὰρ σῶμα δύναται δρᾶν εἰς πρᾶγμα ἀσώματον, ἀλλὰ τὸ ἀνάπαλιν μᾶλλον

διὰ τὸ τὰ ἄϋλα εἰδικωτέρας εἶναι καὶ καθολικωτέρας δυνάμεως. Κατὰ συμβεβηκὸς μέντοι γε ἡ κίνησις τῶν οὐρανίων σωμάτων καὶ εἰς τὴν θέλησιν δρᾷ, καθόσον εἰς τὰς αἰσθητικὰς δυνάμεις ἐντελεχείας οὔσας ὀργάνων σωματικῶν δρᾷ· διὰ δὲ τῶν παθῶν τῆς αἰσθητικῆς ἐφέσεως ἡ νοερὰ ἔφεσις κινεῖται, ὡς εἴρηται, ὥσπερ ψύχους ἐπιόντος ἄρχεταί τις θέλειν ἀνάπτειν πῦρ.

6. Ἕκτον, ὅτι ὑπὸ μόνου τοῦ Θεοῦ ὡς ὑπὸ ἔξωθεν ἀρχῆς κινεῖται ἡ θέλησις. Ἐν γὰρ τῷ δευτέρῳ τῆς πρὸς Φιλιππησίους εἴρηται ὅτι „ὁ Θεός ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν τὸ θέλειν καὶ τὸ ἐνεργεῖν“· καὶ εὐλόγως· τὸ γὰρ τὴν ἑκούσιον τινὸς κίνησιν ὑπό τινος ἀρχῆς ἔξωθεν εἶναι, ἥτις οὐκ ἔστιν αἰτία τῆς θελήσεως, ἀδύνατον διὰ τὸ τὴν κατὰ φύσιν κίνησιν ὑπ' ἐκείνου μόνου γινώσκεσθαι ὃ τῆς φύσεώς ἐστιν αἴτιον· τῆς δὲ θελήσεως αἴτιον οὐδέν ἐστιν εἰ μὴ ὁ Θεός, πρῶτον μέν, ὅτι ἡ θέλησις δύναμίς ἐστι τῆς λογικῆς ψυχῆς, αὕτη δὲ ἐκ μόνου δημιουργοῦ τοῦ Θεοῦ· δεύτερον, ὅτι ἡ θέλησις πρὸς τὸ καθόλου ἀγαθὸν τέτακται· ὁ δὲ Θεός ἐστι τὸ καθόλου ἀγαθόν· μερικὴ δὲ αἰτία οὐ δύναταί τινι διδόναι τὴν πρὸς τὸ καθόλου ῥοπήν, ὅθεν οὐδὲ τῆς πρώτης ὕλης δυνάμει οὔσης πρὸς πάντα τὰ εἴδη δύναται μερικόν τι ποιοῦν αἴτιον εἶναι.

### X. — Περὶ τοῦ τρόπου καθ' ὃν κινεῖται ἡ θέλησις.

1. Καὶ πρῶτον, ὅτι ἡ θέλησις ἐφ' ὃ ἂν κινῆται, φύσει κινεῖται· ἡ γὰρ τῆς θελήσεως κίνησις ἕπεται τῇ τοῦ νοῦ ἐνεργείᾳ· ὁ δὲ νοῦς νοεῖ τινα φύσει· καὶ ἡ θέλησις ἄρα τινὰ φύσει θέλει· ἄλλως τε καὶ διὰ τῆς θελήσεως οὐ μόνον τῶν προσηκόντων τῇ δυνάμει τῆς θελήσεως ἐφιέμεθα, ἀλλὰ καὶ τὰ προσήκοντα ἑκάστῃ δυνάμει καὶ ὅλῳ τῷ ἀνθρώπῳ· ὅθεν φύσει | ὁ ἄνθρωπος οὐ τὸ τῆς θελήσεως μόνον ἀντικείμενον θέλει, ἀλλὰ f. 91v καὶ πάντα τὰ οἰκεῖα ταῖς ἄλλαις δυνάμεσιν, οἷον τὴν τοῦ ἀληθοῦς γνῶσιν, ἥτις ἐστὶν οἰκεία τῷ νῷ, καὶ τὸ εἶναι καὶ ζῆν καὶ τὰ τοιαῦτα, τὰ τῇ φυσικῇ συστάσει ἀνήκοντα, ἃ πάντα ὑπὸ τὸ ἀντικείμενον τῆς θελήσεως περιέχονται ὥσπερ τινὰ μερικὰ ἀγαθά.

2. Δεύτερον, ὅτι ἡ θέλησις οὐκ ἐξ ἀνάγκης ὑπὸ τοῦ ἰδίου ἀντικειμένου κινεῖται· λογικὴ γὰρ οὖσα δύναμις, τῶν ἀντικειμένων ἐστίν.

Ἰστέον ὅτι διχῶς κινεῖται ἡ θέλησις· κατά τε τὸ ἐνεργεῖν ἀπὸ τοῦ μὴ ἐνεργεῖν, καὶ οὕτως ἐξ ἀνάγκης ὑπ' οὐδενὸς ἀντικειμένου κινεῖται· δυνατὸν γάρ τινα περὶ μηδενὸς ἀντικειμένου λογίζεσθαι, καὶ ἀκολούθως μηδ' ἐνεργείᾳ θέλειν αὐτό· καὶ κατὰ τὸ εἶδος τῆς ἐνεργείας, ὅπερ ἐστὶ κατὰ τὸ ἀντικείμενον, καὶ οὕτως ἡ θέλησις ὑπό τινος μὲν ἀντικειμένου ἐξ ἀνάγκης κινεῖται, ἤγουν εἰ προτεθείη αὐτῇ τι καθόλου ὂν ἀγαθὸν καὶ

8 Phil. 2, 13



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὡς ἄν τις λογίσηται, εἴπερ μόνον θέλοι, ἐξ ἀνάγκης ἐπ' αὐτὸ ἐνεγχθήσεται· οὐ γὰρ δυνήσεται θέλειν τὸ ἀντικείμενον· ὑπό τινος δὲ οὐκ ἐξ ἀνάγκης, ἤγουν εἰ προτεθείη τι, ὅπερ οὐ πανταχόθεν λογιζομένοις ἐστὶν ἀγαθόν. Ὅθεν τὸ τέλειον ἀγαθὸν ἐξ ἀνάγκης κινεῖ, οἷον ἡ μακαριότης· τὰ δὲ ἄλλα, καθόσον ἀποδέουσι τινὸς ἀγαθοῦ, δύναται ἡ θέλησις καὶ ἀπαναίνεσθαι καὶ προσίεσθαι· δύνανται γὰρ καὶ ὡς μὴ ἀγαθὰ λαμβάνεσθαι.

3. Τρίτον, ὅτι ἡ θέλησις οὐκ ἐξ ἀνάγκης κινεῖται ὑπὸ τοῦ πάθους τῆς ταπεινοτέρας ἐφέσεως· εἴρηται γὰρ ἐν τῷ τετάρτῳ τῆς Γενέσεως· „Ὑπὸ σὲ ἔσται ἡ ἐπιθυμία σου, καὶ σὺ κυριεύσεις αὐτῆς". Εἰ γὰρ καὶ μὴ δύναται ποιῆσαι τὸ τὴν κίνησιν τῆς ἐπιθυμίας μὴ ἐπαναστῆναι, ἀλλὰ δύναται μὴ θέλειν ἐπιθυμεῖν ἢ τῇ ἐπιθυμίᾳ μὴ συντίθεσθαι. Εἰ δὲ ὁ λόγος καταβεβάπτισται, ὡς ἐν τοῖς ἐμπλήκτοις ἢ ἐξεστηκόσιν, ἐξ ἀνάγκης ἕπεται ἡ θέλησις τῇ τοῦ πάθους ὁρμῇ, ὥσπερ ἐν τοῖς σπουδαίοις τὸ αἰσθη-

f. 92 τικὸν μέρος τῷ λόγῳ παντελῶς ὑπείκει ἐξ ἀνάγκης. Ὅταν δὲ | τῷ πάθει ἐπισκοτιζομένου τοῦ λόγου μένῃ τι αὐτοῦ ἐλεύθερον, δυνατόν τινα ἢ τὸ πάθος παντελῶς ἀπελαύνειν, ἢ τοὐλάχιστον ἑαυτὸν κατέχειν οὐκ ἀκολουθοῦντα τῷ πάθει.

4. Τέταρτον, ὅτι ἡ θέλησις οὐκ ἐξ ἀνάγκης κινεῖται ὑπὸ τοῦ Θεοῦ. Ἐν γὰρ τῷ πεντεκαιδεκάτῳ τοῦ Ἐκκλησιαστοῦ λέγεται· „Ὁ Θεὸς ἐξ ἀρχῆς τὸν ἄνθρωπον ἐποίησε καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ τῆς βουλῆς αὐτοῦ".

Ἔτι, ἐπεὶ ἀδύνατον ὑπὸ τῆς προνοίας φθείρεσθαι τὴν τῶν πραγμάτων τάξιν, ὡς ἐκ τῶν ἀναγκαίων αἰτίων τῇ θείᾳ κινήσει ἕπονται ἀναγκαῖα ἀποτελέσματα, οὕτω καὶ ἐκ τῶν ἐνδεχομένων, ἐν οἷς ἐστι καὶ ἡ θέλησις, ἐνδεχόμενα, πλὴν ἐκείνων ἐφ' ἃ φύσει καὶ αὕτη κινεῖται. Κινεῖ ἄρα οὕτως αὐτὴν ὥστε μὴ ἐξ ἀνάγκης ἐφ' ἓν ὁρίζειν, ἀλλὰ μένειν τὴν κίνησιν ταύτης ἐνδεχομένην.

Ἔτι, ἡ θεία θέλησις οὐ βούλεται μόνον τὸ γενέσθαι τι διὰ τοῦ πράγματος, οὗ κινεῖ, ἀλλὰ καὶ τὸ τοῦτον τὸν τρόπον γενέσθαι, ὃς τῇ τούτου φύσει συμβαίνει· καὶ φυσικόν ἐστιν ἑκάστῳ ὅπερ ὁ Θεὸς οὕτως ἐνεργεῖ ἐν αὐτῷ ὥστ' αὐτῷ εἶναι φυσικόν· οὕτω γάρ ἐστιν ἑκάστῳ τι οἰκεῖον καθὼς θέλει ὁ Θεὸς τούτῳ οἰκεῖον εἶναι· οὐ μὴν θέλει πᾶν ὅπερ ἂν αὐτὸς ἐν τοῖς πράγμασιν ἐνεργεῖ φυσικὸν εἶναι τούτοις, ἤγουν τὸ τοὺς νεκροὺς ἀνίστασθαι, ἀλλὰ τοῦτο βούλεται πᾶσιν εἶναι φυσικόν, τὸ ὑποτέταχθαι τῇ αὐτοῦ δυνάμει.

## XI. — Περὶ ἀπολαύσεως.

1. Καὶ πρῶτον, ὅτι ἡ ἀπόλαυσις τῆς ἐφιεμένης δυνάμεως ἐστίν· οὐδὲν δὲ κωλύει ἓν καὶ ταὐτὸν κατὰ διαφόρους λόγους εἰς διαφόρους δυνάμεις ἀνήκειν, ὥστε καὶ ἡ τοῦ Θεοῦ θεωρία, ᾗ μὲν θεωρία, τοῦ νοῦ ἐστιν ἐνέρ-

---

9 Gen. 4, 7  19 Eccli. 15, 14  28 *οὗ* sic A

Ε.Υ.Δ της ... ΙΩΑΝΝΙΝΑ 2006

γεια· ἡ δὲ ἀγαθὸν καὶ τέλος, τῆς θελήσεως ἐστὶν ἀντικείμενον, καὶ τοῦτον τὸν τρόπον ἐστὶ καὶ ταύτης ἀπόλαυσις. Ὅθεν τούτῳ τῷ τέλει ὁ μὲν νοῦς ἕπεται ὥσπερ δύναμις ἐνεργοῦσα, ἡ δὲ θέλησις ὥσπερ δύναμις πρὸς τὸ τέλος κινοῦσα καὶ ἀπολαύουσα οὗ ἤδη ἔτυχε τέλους.

2. Δεύτερον, ὅτι τοῦ ἐσχάτου μόνου τέλους ἔστιν ἡ ἀπόλαυσις, | διότι f. 92v
ἐν ᾧ ἡσθεῖσα θέλησις ἠρεμεῖ ἁπλῶς, τοῦτό ἐστι κυρίως ἀπολαυστόν, ὡς ἐπὶ τῶν καρπῶν· οὐ γὰρ ἔτι ἀνηρτημένη μένει ἡ τῆς θελήσεως κίνησις, ὡς ἐπὶ τῶν ἄλλων χάριν ἡδέων, ἃ χρήσιμα ἢ χρηστὰ λέγονται· καὶ τελεία μέν ἐστιν ἀπόλαυσις, ὅταν τις τὸ τέλος ἔχῃ πραγματικῶς, ἀτελὴς δέ, ὅταν ἐν μόνῳ τῷ λογισμῷ.

## XII. — Περὶ βουλήσεως.

1. Περὶ τούτου ζητεῖται πρῶτον εἰ ἡ βούλησις τῆς θελήσεως ἐστὶν ἐνέργεια, ἢ τοῦ νοῦ, καὶ δείκνυται ὅτι τῆς θελήσεως.

2. Δεύτερον, εἰ μόνου τοῦ ἐσχάτου τέλους ἐστί, καὶ δείκνυται ὅτι οὐ τούτου μόνου· οὐ γὰρ ἂν ἦσαν διάφοροι τῶν ἀνθρώπων σκοποί.

3. Τρίτον, εἰ δυνατὸν πλείω ὁμοῦ βούλεσθαι, καὶ δείκνυσι δυνατὸν εἶναι, διότι καὶ ἡ φύσις δι' ἑνὸς ὀργάνου πλείους ὠφελείας σκοπεῖ, καὶ ἡ γλῶττα καὶ πρὸς τὴν ὁμιλίαν τέτακται καὶ πρὸς τὴν γεῦσιν, οὐ μέντοι γε πάντα ὡς ἔσχατα τέλη.

4. Τέταρτον, εἰ μία καὶ ἡ αὐτὴ κίνησίς ἐστιν ὅ τε σκοπὸς τοῦ τέλους καὶ ἡ θέλησις τοῦ πρὸς τὸ τέλος, καὶ δείκνυται ὅτι μία.

5. Πέμπτον, εἰ σκοπεῖ τὸ τέλος καὶ τὰ ἄλογα ζῷα, καὶ δείκνυται ὅτι οὐχί. Ὁ γὰρ σκοπὸς τοῦ τέλους τάξιν τινὸς πρὸς τὸ τέλος σημαίνων τοῦ λόγου ἐστίν, εἰ μὴ καὶ ἡ φύσις λέγεται τὸ τέλος σκοπεῖν, ἅτε ἐπὶ τὸ ἴδιον τέλος ὑπὸ τοῦ Θεοῦ κινουμένη. Οὕτω γὰρ καὶ τὰ ἄλογα τὸ τέλος σκοπεῖ, καθόσον ὁρμῇ τινι φυσικῇ ἐπί τι κινοῦνται ἄνευ τοῦ τάττειν· τοῦτο δὲ οὐκ ἔστιν ἀρχοειδῶς καὶ κυρίως σκοπεῖν.

## XIII. — Περὶ τῆς ἐνεργείας τῆς θελήσεως, ἥ ἐστιν ἡ αἵρεσις.

1. Καὶ πρῶτον, ὅτι ἡ αἵρεσις τῆς θελήσεως ἐστὶν ἐνέργεια· ἔστι γὰρ ἐπιθυμία τῶν ἐφ' ἡμῖν, κατὰ τὸν Φιλόσοφον ἐν τρίτῳ τῶν ἠθικῶν.

2. Δεύτερον, ὅτι ἡ αἵρεσις οὐχ ἁρμόττει τοῖς ἀλόγοις· φησὶ γὰρ ὁ Νύσσης Γρηγόριος· „Τὰ παιδία καὶ τὰ ἄλογα ἑκόντα μὲν ποιοῦσιν, οὐ μὲν δὲ αἱρούμενα“· ἐν γὰρ τοῖς εἰς ἓν ὡρισμένοις ἡ αἵρεσις χώραν οὐκ ἔχει· τοιαῦται δέ εἰσιν αἱ ἐνέργειαι τῶν τῇ αἰσθητικῇ ἐφέσει μόνῃ ζώντων, οὐχὶ καὶ τῇ θελήσει, ὥσπερ τῶν ἀλόγων ζῴων. Εἰ δὲ καὶ δοκοῦσιν ἐφίεσθαί τινος τοῦ τέλους | ἕνεκα, ἀλλ' οὐ πᾶσα τοιαύτη ἔφεσις αἵρεσις f. 93
λέγεται, ἀλλ' ἡ μετά τινος διακρίσεως ἑτέρου ἀφ' ἑτέρου, ἥτις οὐ δύναται εἶναι εἰ μὴ ἐν οἷς ἡ ἔφεσις ἐπὶ πλείω δύναται φέρεσθαι. Εἰ δὲ καὶ



ΙΩΑΝΝΙΝΑ 2006

φρόνιμα ἄνευ μαθήσεως λέγεται ἔνια ἐν πρώτῳ τῶν μετὰ τὰ φυσικά, οἷον μέλιτται καὶ ἀράχναι καὶ κύνες, φρονήσεως δέ φησιν ὁ Φιλόσοφος ἐν ἕκτῳ τῶν ἠθικῶν τὸ καλῶς αἱρεῖσθαι τὰ πρὸς τὸ τέλος, ἀλλ᾽ οὐ κυρίως εἰσὶ φρόνιμα· οὐ γὰρ ὡς ἐν αὐτοῖς λόγου ὄντος ἢ αἱρέσεως, ἀλλ᾽ ὡς φυσικῇ τινι ῥοπῇ τὸ ἑαυτῶν ἔργον μεθοδεύοντα, οὐχ αὐτὰ εὑρηκότα τὴν τάξιν, ἀλλ᾽ ὑπὸ τῆς ἄκρας ἐκείνης τέχνης ἐγκατῳκισμένης αὐτοῖς, ὥσπερ διὰ τὸν καλῶς βάλλοντα τὸ βέλος κατ᾽ εὐθεῖαν κινεῖται ὥσπερ εἰ αὐτὸ λόγον εἶχεν ἰθύνοντα.

3. Τρίτον, ὅτι ἡ αἵρεσις τῶν πρὸς τὸ τέλος ἐστίν, καὶ ἡ θέλησις τοῦ τέλους, αὐτῇ λέξει τοῦ Φιλοσόφου λέγοντος, καὶ ὅτι οὐκ ἔστι τῶν ἀδυνάτων, τοῦ αὐτοῦ καὶ τοῦτο λέγοντος ἐν τρίτῳ τῶν ἠθικῶν.

4. Τέταρτον, καὶ ὅτι οὐκ ἔστιν δι᾽ ἀνάγκης ἡ αἵρεσις· λογικὴ γὰρ οὖσα δύναμις, τῶν ἀντικειμένων ἐστίν.

## XIV. — Περὶ βουλῆς.

1. Πρὸς τοῦτο ζητεῖται πρῶτον εἰ ἡ βουλὴ ζήτησίς ἐστι περὶ τῶν πρακτῶν, καὶ δείκνυται ὅτι οὕτως.

2. Δεύτερον, εἰ καὶ περὶ τοῦ τέλους ἐστίν, ἢ μόνον περὶ τῶν πρὸς τὸ τέλος, καὶ δείκνυται ὅτι οὐκ ἔστι περὶ τοῦ τέλους· τὸ γὰρ τέλος ἐν τοῖς πρακτικοῖς ἀρχῆς λόγον ἔχει, οὐ πίπτει δὲ ὑπὸ ζήτησιν ἡ ἀρχή, ἀλλ᾽ ἐν πάσῃ ζητήσει δεῖ τὰς ἀρχὰς ὑποκεῖσθαι.

3. Τρίτον, εἰ περὶ τῶν ἐφ᾽ ἡμῖν μόνων ἐστί, καὶ δείκνυται ὅτι οὕτως.

4. Τέταρτον, εἰ περὶ τῶν παιδεύσει ἢ τέχνῃ γινομένων, καὶ δείκνυται ὅτι οὐ περὶ τούτων· ἡ ζήτησις γὰρ περὶ τῶν εἰς ἀμφισβήτησιν ἐρχομένων. Ἔνια δὲ τοῖς ἀνθρώποις οὐκ ἀμφισβητήσιμα διχῶς· ἢ διὰ τὸ ἐξ ὡρισμένων μεθόδων εἰς ὡρισμένα τέλη τὴν πρόοδον εἶναι, ὥσπερ ἐπὶ τῶν τεχνῶν ἔχει· ἢ διὰ τὸ μηδέν, ἢ μὴ πολὺ διαφέρειν πρὸς τὸ τυχεῖν τοῦ τέλους· τὸ δὲ μικρὸν ὁ λόγος ὥσπερ οὐδὲν λαμβάνει.

f. 93v 5. Πέμπτον, | εἰ τὸν ἀναλυτικὸν προχωρεῖ τρόπον, καὶ δείκνυται ὅτι οὕτως· ἐφ᾽ ὧν γὰρ ἡ ἀρχὴ τῇ μὲν γνώσει προτέρα, ὑστέρα δὲ τῷ εἶναι, ἀναλυτική ἐστιν ἡ πρόοδος· τοιοῦτον δὲ ἡ ἀρχὴ τῆς βουλῆς. Τὸ τέλος γάρ ἐστιν λογισμῷ μὲν πρότερον, ὕστερον δὲ τῷ εἶναι, καὶ διὰ τοῦτο βουλευόμενοι ἀρχόμεθα ἀπ᾽ ἐκείνου ὃ σκοποῦμεν ἐν τῷ μέλλοντι, ἕως ἂν ἀφικώμεθα ἐφ᾽ ὃ δεῖ παραυτίκα πράττειν· ὅθεν καὶ ἡ τάξις τοῦ περὶ τῶν πράξεων συλλογίζεσθαι ἐναντία ἐστὶ τῇ τοῦ πράττειν τάξει.

6. Ἕκτον, εἰ ἡ ζήτησις τῆς βουλῆς ἐπ᾽ ἄπειρον πρόεισιν, καὶ δείκνυται οὐχί· οὐδὲν γὰρ κινεῖται ἐφ᾽ ὃ ἀδύνατον ἐλθεῖν, ὡς ἐν πρώτῳ περὶ οὐρανοῦ· τὸ δὲ ἄπειρον ἀδύνατον διελθεῖν, καὶ εἰ τῆς βουλῆς ἡ ζήτησις ἦν ἄπειρος, οὐδ᾽ ἂν ἠρχόμεθα βουλεύεσθαι εὖ φρονοῦντες, ἀλλὰ φρονοῦντες μᾶλλον ἀρχόμεθα.

Ε.Υ.Δ. ΙΩΑΝΝΙΝΑ 2006

### XV. — Περὶ συγκαταθέσεως.

1. Περὶ ταύτην πρῶτον δείκνυται, ὅτι ἔστι τῆς ἐφιεμένης δυνάμεως, οὐ τῆς ἀντιληπτικῆς.

2. Δεύτερον, ὅτι οὐ προσήκει τοῖς ἀλόγοις ζῴοις· ἔστι γὰρ ἀγάπη τοῦ ἐκ τῆς βουλῆς κεκριμένου· βουλὴ δὲ ἐν τοῖς ἀλόγοις οὐκ ἔστιν.

3. Τρίτον, ὅτι τῶν πρὸς τὸ τέλος ἐστὶ μόνον, περὶ ὧν καὶ ἡ βουλή.

4. Τέταρτον, ὅτι ἡ πρὸς τὸ ποιεῖν συγκατάθεσις ἀεὶ τοῦ ὑψηλοτέρου ἔργου ἐστίν, Αὐγουστίνου λέγοντος ἐν δωδεκάτῳ περὶ Τριάδος ἀδύνατον ἁμάρτημα δρᾶσαί τι τῇ διανοίᾳ ψηφίσασθαι ἰσχυρῶς, μὴ τοῦ σκοποῦ τῆς διανοίας, ἧς ἐστιν ἡ ἄκρα δύναμις τοῦ τὰ μέλη ἢ ἐπ' ἔργα κινεῖν, ἢ πάλιν ἀπὸ τῶν ἔργων κωλύειν, ὑποχωροῦντος τῇ κακῇ πράξει ἢ δουλεύοντος.

### XVI. — Περὶ χρήσεως.

1. Περὶ ταύτην πρῶτον δείκνυται, ὅτι τὸ χρῆσθαι τῆς θελήσεως ἐστὶν ἐνέργεια ὥσπερ πρότερον κινούσης, τοῦ δὲ λόγου ὥσπερ ὁδηγοῦντος, τῶν δ' ἄλλων δυνάμεων ὥσπερ ἀποπληρουσῶν.

2. Δεύτερον, ὅτι τοῖς ἀνθρώποις μόνοις προσήκει, εἴπερ κίνησίς ἐστιν ἐφέσεως εἴς τι ἐν τῇ πρὸς ἕτερον τάξει, τὸ δὲ ἄλλο πρὸς ἄλλο τάττειν τοῦ λόγου ἐστίν.

3. Τρίτον, ὅτι οὐκ ἔστι τοῦ ἐσχάτου τέλους χρῆσις, ἀλλὰ μόνον ἀπόλαυσις.

4. Τέταρτον, ὅτι ἡ χρῆσις ἕπεται τῇ αἱρέσει. f. 94

### XVII. — Περὶ τῶν προστάγματι τελουμένων ἐνεργειῶν.

1. Περὶ τοῦτο πρῶτον δείκνυται ὅτι τὸ προστάττειν τοῦ λόγου ἐστὶν ἐνέργεια· οὐ γὰρ ἔστι τὸ κινεῖν τὸν τυχόντα τρόπον, ἀλλὰ μετά τινος δηλώσεως καὶ παραγγελίας πρὸς ἕτερον, ὅπερ ἐστὶ τοῦ λόγου.

2. Δεύτερον, ὅτι μόνοις τοῖς ἀνθρώποις προσήκει.

3. Τρίτον, ὅτι τὸ προστάττειν τῆς χρήσεως προηγεῖται.

4. Τέταρτον, ὅτι τὸ προστάττειν καὶ ἡ τῷ προστάττειν ἐνέργεια τελουμένη μία ἐστὶν ἀνθρωπίνη ἐνέργεια ὥσπερ τι ὅλον· κατὰ δὲ τὰ μέρη εἰσὶ πολλά, ὥσπερ καὶ ἡ ἐνέργεια τοῦ πρώτως κινοῦντος, ὥσπερ εἶδος οὖσα πρὸς τὴν τοῦ ὀργάνου ἐνέργειαν, μία ἐνέργειά ἐστιν ὡς ἕν τι τὸ σύνολον, καίτοι γε ἁπλῶς οὐκ εἰσὶν ἕν.

5. Πέμπτον, ὅτι ἡ τῆς θελήσεως ἐνέργεια προστάγματι τελεῖται, ὅταν τελείως προστάττῃ, τὸ δ' ἀτελὲς πρόσταγμα ἐκ τοῦ τὸν λόγον διαφόρως κινεῖσθαι συμβαίνει πρός τε τὸ ἐπιτάττειν, καὶ μή· ὅθεν μέσος δυοῖν ἀπολελειμμένος ὥσπερ κυμαίνεται καὶ οὐ τελείως ἐπιτάττει.

6. Ἕκτον, ὅτι καὶ αἱ τοῦ λόγου ἐνέργειαι προστάγματι τελοῦνται, ὅτι ὁ λόγος ἐφ' ἑαυτὸν ἐπιστρέφει, καὶ ὥσπερ τὰς τῶν ἄλλων δυνάμεων ἐνερ-

Ε.Υ.Δ. τμ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γείας τάττει ἑαυτῷ, δύναται καὶ τὰς ἑαυτοῦ· λέγω δὲ ὅσον κατὰ τὴν τῆς ἐνεργείας ἀποπλήρωσιν. Ὅσον δὲ κατὰ τὸ ἀντικείμενον, χρὴ διαιρεῖν· τῇ γὰρ τούτου παραθέσει δύο ἐνέργειαι λόγου εἰσίν· τό τε τὴν περί τι ἀλήθειαν κατανοῆσαι, καὶ τοῦτο οὐκ ἀεί ἐστιν ἐφ' ἡμῖν· συμβαίνει γὰρ δυνάμει τινὸς φωτός, ἢ φυσικοῦ, ἢ ὑπερφυοῦς· καὶ τὸ τοῖς νοηθεῖσι συγκαταθέσθαι, ἅπερ, εἰ μὲν πρῶτα εἶεν ἀρχαί, οὐ προστάγματι ὑπόκεινται· οὐ γὰρ ἐφ' ἡμῖν ἐστι συγκαταθέσθαι τούτοις, ἢ μή, ἀλλ' ἐν τῇ τῆς φύσεως τάξει. Εἰ δὲ τοιαῦτα εἶεν, ὥστε μὴ νικᾶν αὐτίκα τὸν νοῦν, ἀλλ' ἀνηρτημένην εἶναι τὴν συγκατάθεσιν αὐτῶν, ἢ τὴν διαφωνίαν, ὑπὸ προστάγματι πίπτουσιν.

7. Ἕβδομον, ὅτι αἱ ἐνέργειαι τῆς αἰσθητικῆς ἐφέσεως προστάγματι f. 94v | ὑπείκουσιν, εἰ καὶ συμβαίνει ποτὲ τὸν ἄνθρωπον μὴ θέλοντα ἐπιθυμεῖν, ὅμως ἐπιθυμεῖν διὰ τὴν τοῦ σώματος διάθεσιν, δι' ἧς κωλύεται ἡ αἰσθητικὴ ἔφεσις μὴ παντελῶς ἕπεσθαι τῇ ἐξουσίᾳ τοῦ λόγου, καθὼς φησιν ὁ Ἀπόστολος· „Ὁρῶ δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου“. Τοῦτο δὲ συμβαίνει καὶ διὰ τὴν ἐξαίφνης κίνησιν τῆς ἐπιθυμίας.

8. Ὄγδοον, ὅτι οὐ καὶ ἡ τῆς φυτικῆς ψυχῆς ἐνέργεια ἐπὶ προστάγματι τοῦ λόγου ὑπείκει, ὅτι ὑλικωτάτη ἐστίν· διὸ καὶ ἐσχάτη πέφυκεν.

9. Ἔννατον, ὅτι τὰ τοῦ σώματος μέλη ὑπείκουσι τῷ λόγῳ κατὰ τὰς ἐνεργείας ἀνθρώπων, ὡς φησιν Αὐγουστῖνος ἐν ὀγδόῳ τῶν ἐξομολογήσεων· ἐπιτάττει ὁ νοῦς τῇ χειρὶ κινηθῆναι, πλὴν τῆς καρδίας, ἧς ἡ κίνησις οὐ κατὰ θέλησιν ἀλλὰ φυσική, καὶ διὰ τοῦτο ζωτικὴ λέγεται. Ἡ γὰρ ἀρχὴ τῆς σωματικῆς κινήσεως ἐκ τῆς καρδίας ἐστίν, καὶ ἡ ἀρχὴ ἐν ταῖς σωματικαῖς κινήσεσι κατὰ φύσιν ἐστίν, ὥσπερ καὶ ἐπὶ τῶν νοητῶν ἔχει καὶ τῶν πρακτῶν ἡ ἀρχή, κατὰ φύσιν οὖσα γνωρίμη καὶ ἐφετή.

Τὸ δὲ τὴν κίνησιν τῶν γεννητικῶν μελῶν μὴ ὑπείκειν τῷ λόγῳ, διὰ τὴν τῆς ἁμαρτίας καταδίκην ἐστίν, ὡς Αὐγουστῖνος φησίν, ὥστε δηλονότι τὴν ψυχὴν τῆς πρὸς Θεὸν παρακοῆς τὴν δίκην ἐν ἐκείνῳ τῷ μέλει μάλιστα ὑπόσχειν, δι' οὗ προγονικὸν ἁμάρτημα εἰς τοὺς ὕστερον κάτεισιν. Ἀλλ' ἐπειδὴ διὰ τῆς τοῦ προπάτορος ἁμαρτίας ἡ φύσις ἑαυτῇ κατελείφθη, ἀφαιρεθέντος τοῦ ὑπὲρ φύσιν δώρου, ὅπερ θεόθεν τῷ ἀνθρώπῳ συνῴκιστο, ἐντεῦθεν δεῖ θεωρεῖν τὸν φυσικὸν λόγον τῆς ἀνυποτάκτου τοῦ μέλους τούτου κινήσεως. Φησὶ τοίνυν ὁ Φιλόσοφος τὴν καρδίαν καὶ τὸ γεννητικὸν μέλος ἔκ τινος φαντασίας κινεῖσθαι, καθόσον δηλονότι ὁ νοῦς καὶ ἡ φαντασία προτιθέασί τινα, οἷς ἕπονται πάθη ψυχῆς, οἷς αὖ ἡ τῶν μελῶν ἀκολουθεῖ κίνησις ἄνευ τῆς τοῦ λόγου ἐπιταγῆς, ἀλλὰ μετά τινος φυσικῆς ἀλλοιώσεως. Ἰδίως δὲ τοῦτο συμβαίνει περὶ ταῦτα τὰ δύο μέλη, ἐπεὶ ἑκάτερον τούτων ζῷόν f. 95 τί ἐστι χωριστόν, καθόσον ἐστὶν ἀρχὴ τῆς ζωῆς· | ἡ δ' ἀρχὴ δυνάμει ἐστὶ

14 Rom. 7, 23

Ε.Υ.Δ. ΙΩΑΝΝΙΝΑ 2006

τὸ ὅλον· ἡ μὲν γὰρ καρδία ἀρχὴ τῶν αἰσθήσεων· ἐκ δὲ τοῦ γεννητικοῦ μέλους πρόεισιν ἡ σπερματικὴ δύναμις, ᾗ δυνάμει τὸ ζῷον ὅλον ἐστίν, καὶ διὰ τοῦτο ἔχουσι φύσει τινὰς ἰδίας κινήσεις· τὰς γὰρ ἀρχὰς ἀνάγκη φυσικὰς εἶναι, ὡς εἴρηται.

## XVIII. — Περὶ ἀρετῆς καὶ κακίας τῶν ἀνθρωπίνων ἐνεργειῶν καθόλου.

1. Περὶ τοῦτο πρῶτον ζητεῖται καὶ δείκνυται ὅτι αἱ τῶν ἀνθρώπων ἐνέργειαι αἳ μὲν φαῦλαι, αἳ δὲ ἀγαθαί, διὰ τὸ ἔχειν τὴν τοῦ εἶναι τελειότητα, ἢ διὰ τὸ αὐτῆς ἀποδεῖν, ἐλλειπούσης τῆς λόγῳ ὡρισμένης ποιότητος, ἢ τοῦ δέοντος τρόπου, ἤ τινος τοιούτου.

2. Δεύτερον, ὅτι ἡ τοῦ ἀνθρώπου ἐνέργεια ἐκ τοῦ ἀντικειμένου ἔχει τὸ εἶναι τοιαύτη· ἐν γὰρ τῷ ἐννάτῳ τοῦ Ὠσηέ· „Ἐβδελύχθησαν ὥσπερ ἠγάπησαν“.

3. Τρίτον, ὅτι ἐκ τῶν περιστάσεων ἐστὶν ἡ ἐνέργεια ἀγαθὴ ἢ φαύλη· κἀν τοῖς φυσικοῖς γὰρ οὐχ ὅλον τὸ προσῆκον τῷ πράγματι τῆς τελειότητος πλήρωμα ἐκ τῆς οὐσιώδους ἐστὶ μορφῆς, ὃ δίδωσι τὸ εἶδος, ἀλλὰ πολύ τι προστίθεται καὶ ἐκ τῶν ἐπεισιόντων συμβεβηκότων· ὅθεν εἴ τι τῆς προσηκούσης ἐνδέοι σχέσεως, ἕπεται κακὸν εἶναι. Οὕτω καὶ εἴ τι μὴ παρείη δέον ζητεῖσθαι πρὸς τὰς ὀφειλομένας περιστάσεις, πονηρά ἐστιν ἡ ἐνέργεια.

4. Τέταρτον, ὅτι τὸ ἀγαθὸν καὶ κακὸν ἐν ταῖς ἀνθρωπίναις ἐνεργείαις διὰ τὸ τέλος ἐστίν. Ἐπὶ γὰρ τῆς ἀνθρωπίνης ἐνεργείας τετραπλῆν ἀγαθότητα δεῖ θεωρεῖν· μίαν μὲν κατὰ τὸ γένος, καθὸ δηλονότι ἐστὶν ἐνέργεια· ὅσον γὰρ ἔχει ἐνεργείας καὶ ὀντότητος, τοσοῦτον καὶ ἀγαθότητος· ἄλλη δὲ κατὰ τὸ εἶδος, ἡ κατὰ τὸ οἰκεῖον ἀντικείμενον λαμβάνεται· τρίτη κατὰ τὰς περιστάσεις· τετάρτη κατὰ τὸ τέλος ὥσπερ κατὰ τὴν σχέσιν τὴν πρὸς τὸ αἴτιον τοῦ ἀγαθοῦ. Ἁπλῶς δέ ἐστιν ἡ ἐνέργεια ἀγαθή, παντὸς ἀγαθοῦ συνελθόντος· ἑκάστη γὰρ μερικὴ στέρησις αἰτία γίνεται κακοῦ.

5. Πέμπτον, ὅτι αἱ ἠθικαὶ ἐνέργειαι διαφέρουσιν εἴδει κατὰ τὸ ἀγαθὸν καὶ κακόν. Ὡς γὰρ καὶ ἐν τοῖς φυσικοῖς τὸ κατὰ φύσιν καὶ παρὰ φύσιν διαιροῦσι τὸ εἶδος τῆς φύσεως· τὸ γὰρ νεκρὸν | καὶ τὸ ζῶν σῶμα οὐκ εἰσὶ f. 95v τοῦ αὐτοῦ εἴδους· ὁμοίως δὲ καὶ τὸ ἀγαθόν, καθόσον ἐστὶ κατὰ λόγον, καὶ τὸ κακόν, καθόσον ἐστὶ παρὰ τὸν λόγον, διαιροῦσι τὸ εἶδος τοῦ ἤθους.

7. Ἰστέον δὲ ὅτι ἡ ἐνέργεια, κατὰ μὲν τὴν οὐσίαν αὐτῆς, ὑφ' ἓν εἶδος ἐστί· κατὰ δὲ τὰς ἐπεισοδιώδεις ἰδιότητας, δύναται καὶ εἰς πλείω εἴδη ἀνάγεσθαι, ὡς τουτὶ τὸ μῆλον κατὰ τὴν οὐσίαν ὑπὸ τὸν τοιονδὶ καρπόν, κατὰ δὲ τὸ χρῶμα ὑπὸ τὸ λευκὸν τυχόν, κατὰ δὲ τὴν ὀσμὴν ὑπὸ τὸ εἶδος τοῦ εὐώδους περιέχεται.

---

13 Os. 9, 10

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

8. Ἔτι, ἰστέον καὶ ὅτι εἰσί τινες ἐνέργειαι ἀδιάφοροι κατὰ τὸ ἑαυτῶν εἶδος, περὶ ὧν καὶ κρίνειν τολμηρόν ἐστιν, ὡς Αὐγουστῖνος φησίν· ἡ γὰρ στέρησις διπλῆ· ἢ μὲν ἐν τῷ ἐστερῆσθαι, ἥτις οὐδὲν καταλείπει, ὡς τυφλότης καὶ σκότος καὶ θάνατος, ἧς καὶ τῆς ἀντικειμένης ἕξεως τὸ δεκτικὸν ἀδύνατον εἶναι μεταξύ· ἢ δέ ἐστιν ἐν τῷ στερεῖσθαι ὁδός τις ὡσανεὶ πρὸς τὴν στέρησιν, ὥσπερ ἡ νόσος, καὶ αὕτη, καί τι καταλείπουσα, οὐκ ἀεί ἐστιν ἄμεσος πρὸς τὴν ἀντικειμένην ἕξιν καὶ τοῦτον τὸν τρόπον τοῦ ἀγαθοῦ στέρησίς ἐστι τὸ κακόν· οὐ γὰρ ὅλον τὸ ἀγαθὸν ἀναιρεῖ, ἀλλά τι καὶ καταλείπει, μέσον τοῦ ἀγαθοῦ καὶ κακοῦ. Τοῦτο καὶ Σιμπλίκιος φησὶν ἐν κατηγορίαις.

9. Ἔτι, ἰστέον ὅτι πᾶσα ἄτομος ἐνέργεια ἢ ἀγαθή ἐστιν, ἢ κακή.

10. Ἔτι, ἰστέον ὅτι αἱ περιστάσεις δύνανται εἶδός τι ἀγαθοῦ ἢ κακοῦ συνιστᾶν ἐν ταῖς ἐνεργείαις, ὥσπερ τὸ ἐξ ἱεροῦ τόπου κλέπτειν ἱεροσυλίαν συνίστησιν· ἀλλὰ οὐ πᾶσαι· τὸ γὰρ μᾶλλον καὶ ἧττον περίστασίς ἐστι προστιθεῖσα τῷ ἀγαθῷ καὶ τῷ κακῷ, καὶ ὅμως οὐ διάφορον ποιεῖ τὸ εἶδος, ὥσπερ τὸ κατὰ τὸ μᾶλλον ἢ ἧττον ἐν λευκότητι διαφέρον οὐ διαφέρει κατὰ τὸ εἶδος τοῦ χρώματος.

XIX. — Περὶ τοῦ ἀγαθοῦ τῆς ἔνδον ἐνεργείας τῆς θελήσεως.

1. Περὶ τοῦτο πρῶτον δεῖ θεωρεῖν, ὅτι τὸ τῆς θελήσεως ἀγαθὸν ἤρτηται τοῦ ἀντικειμένου, τουτέστιν ἐκ τοῦ βούλεσθαί τινα ἀγαθά· ὡς γὰρ φησὶν ὁ Φιλόσοφος ἐν ἕκτῳ τῶν ἠθικῶν, δικαιοσύνη ἐστὶ καθ' ἣν τὰ δίκαια τινὲς βούλονται, ὥστε καὶ ἀρετὴ καθ' ἣν τἀγαθά, ἀγαθὴ δὲ θέλησις ἡ κατ' ἀρετήν. Ἄρα καὶ τὸ συμπέρασμα.

f. 96 2. Δεύτερον, ὅτι τὸ τῆς θελήσεως ἀγαθὸν ἐκ τοῦ ἀντικειμένου ἤρτηται μόνου, καὶ οὐ τῶν περιστάσεων.

3. Τρίτον, ὅτι ἤρτηται τοῦ λόγου· τὸ γὰρ ἀντικείμενον τῆς θελήσεως διὰ τοῦ λόγου ταύτῃ προτίθεται, νοηθὲν ἀγαθὸν ὂν καὶ τῇ καθολικωτέρᾳ δυνάμει τὸ καθόλου ἀντικείμενον, καὶ ὅτι τὴν τῆς θελήσεως ἔφεσιν ἀδύνατον γενέσθαι τοῦ ἀγαθοῦ, εἰ μὴ τοῦτο πρῶτον ὑπὸ τοῦ λόγου καταληφθείη.

4. Τέταρτον, ὅτι τὸ τῆς ἀνθρωπίνης θελήσεως ἀγαθὸν ἤρτηται τοῦ αἰωνίου νόμου.

5. Πέμπτον, ὅτι ἡ θέλησις ἡ διχονοοῦσα πρὸς τὸν πλανώμενον λόγον κακή ἐστιν, διότι ἐναντία τῇ συνειδήσει ἐστίν· συνείδησις δὲ οὐδέν ἐστιν ἕτερον ἢ τῆς εἰδήσεως πρός τινα ἐνέργειαν προσαγωγή· ἡ δὲ εἴδησις ἐν τῷ λόγῳ ἐστίν. Εἰ γὰρ καὶ ἡ τοῦ πλανωμένου λόγου κρίσις οὐκ ἀπὸ τοῦ Θεοῦ ὁρμᾶται, ἀλλ' ὅμως ὁ πλανώμενος λόγος τὴν ἑαυτοῦ κρίσιν προβάλλεται ὡς ἀληθῆ καὶ ἀκολούθως ὡς ἀπὸ Θεοῦ ὡρμημένην, παρ' οὗ πᾶσα ἀλήθεια.

6. Ἕκτον, ὅτι ἡ συμφωνοῦσα τῷ πλανωμένῳ λόγῳ θέλησις οὐκ ἔστιν

Ε.Υ.Δ. ΙΩΑΝΝΙΝΑ 2006

ἀγαθή, ὥσπερ ἡ θέλησις τῶν τοὺς ἀποστόλους ἀποκτεινόντων συνεφώνει μὲν τῷ πλανωμένῳ λόγῳ, ἀλλ' οὐκ ἦν ἀγαθή, ὡς ἐν τῷ κατὰ Ἰωάννην· „Ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ἡμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ“.

7. Ἕβδομον, ὅτι τὸ τῆς θελήσεως ἀγαθὸν τοῦ σκοποῦ ἤρτηται, ὡς Αὐγουστίνῳ δοκεῖ, ὅτι τὸν σκοπὸν ἀμείβεται ὁ Θεός, κατὰ δὲ τοῦτο ἐστί τινος ἀμοιβή, ὅτι ἐστὶν ἀγαθόν. Διχῶς ἔχει πρὸς τὴν θέλησιν ὁ σκοπός· ἢ ὡς προηγούμενος, ὥσπερ ὅταν τις θέλῃ νηστεύειν διὰ τὸν Θεόν· ἢ ὡς συνών, ὥσπερ ὅταν τις καὶ δι' ἄλλην αἰτίαν θέλῃ νηστεύειν, καὶ μετὰ ταῦτα ἐπὶ τὸν Θεὸν τοῦτο ἀνάγῃ. Ἀδύνατον οὖν τὴν θέλησιν λέγεσθαι ἀγαθήν, εἰ ὁ σκοπός, αἰτία ὢν τοῦ θέλειν, εἴη κακός· ὁ γὰρ διὰ δόξαν κενὴν βουλόμενος ἐλεημοσύνην διδόναι, | κατὰ τὸν τοῦ κακοῦ λόγον θέλει f. 96v τὸ καθ' ἑαυτὸ ἀγαθόν, καὶ διὰ τοῦτο κακόν ἐστι, καθόσον ὑπ' αὐτοῦ θελητόν· ὅθεν ἡ τούτου θέλησις πονηρά ἐστιν. Εἰ δ' ὁ σκοπὸς ἕποιτο, τότε τὴν θέλησιν δυνατὸν εἶναι καὶ ἀγαθήν, καὶ διὰ τὸν ἑπόμενον σκοπὸν οὐ κακύνεται ἡ προηγησαμένη τῆς θελήσεως ἐνέργεια, ἀλλ' ἡ ἑπομένη.

8 (= 10). Ὄγδοον, ὅτι δεῖ τὴν τοῦ ἀνθρώπου θέλησιν ἀεὶ τῇ θείᾳ κατὰ τὸ θελητὸν ὁμοιοῦσθαι. Τὸ γὰρ θεῖον θελητόν, οἷον ἂν εἴη, γινώσκειν δυνάμεθα κατὰ τὸν κοινὸν λόγον· ἴσμεν γάρ, ὡς ὅπερ ἂν ὁ Θεὸς θέλῃ, κατὰ τὸν τοῦ ἀγαθοῦ λόγον τοῦτο θέλει, καὶ διὰ τοῦτο ὃς αὐτὸ θέλει καθ' οἱονδήτινα τοῦ ἀγαθοῦ λόγον, ἔχει θέλησιν ὁμοειδῆ τῇ θείᾳ θελήσει κατὰ τὸν τοῦ θελητοῦ λόγον. Μερικῶς δὲ οὐκ ἴσμεν τί ὁ Θεὸς θέλει, καὶ ὅσον πρὸς τοῦτο οὐκ ἀνάγκη ἐξομοιοῦσθαι τὰς θελήσεις. Ἐν μέντοι τῇ καταστάσει τῆς δόξης πάντες ὄψονται ἐν ἑκάστῳ ὧν βούλονται τὴν τάξιν αὐτῶν πρὸς ἐκεῖνο ὃ βούλεται ὁ Θεὸς περὶ τοῦτο, καὶ διὰ τοῦτο οὐκ εἰδικῶς μόνον, ἀλλὰ καὶ ὑλικῶς ἐν πᾶσι τῷ Θεῷ τὴν ἑαυτῶν ἐξομοιώσουσι θέλησιν. Εἰ δὲ θέλει τὴν καταδίκην τινὸς ὁ Θεός, ἐπεὶ οὐ τῷ λόγῳ τῆς καταδίκης καὶ τοῦ θανάτου· θέλει γὰρ πάντας μᾶλλον σωθῆναι· ἀλλὰ τῷ τοῦ δικαίου, ἀρκεῖ τὸ θέλειν τὸν ἄνθρωπον τὴν θείαν δικαιοσύνην καὶ τὸ τὴν τῆς φύσεως τάξιν τηρεῖσθαι.

## XX. — Περὶ τῆς ἀρετῆς καὶ κακίας τῶν ἔξωθεν ἐνεργειῶν.

1. Περὶ τοῦτο τὸ μέρος, πρῶτον δείκνυται ὅτι τὸ ἀγαθὸν καὶ κακὸν προηγουμένως ἐν τῇ τῆς θελήσεως ἐνεργείᾳ ἐστίν, ἑπομένως δὲ καὶ ἐν ταῖς ἔξωθεν, ὅτι καὶ ἐν ταύταις διὰ τὴν τῆς θελήσεως ἐνέργειαν ἐστίν, εἰ θεωροῖντο τὸ ἀγαθὸν καὶ κακὸν ἐν αὐταῖς κατὰ τὴν πρὸς τὸ τέλος τάξιν, ὅπερ ἴδιον ἀντικείμενον τῆς θελήσεως, τουτέστιν εἰ κατὰ τὸ γένος θεωροῖντο. Εἰ δὲ κατὰ τὴν ὕλην καὶ τὰς περιστάσεις, τουτέστι κατὰ τὴν τοῦ λόγου ἀντίληψιν, τὸ ἐν αὐταῖς ἀγαθὸν πρότερον.

---

2 Ioh. 16, 2

Ε.Υ.Δ της Κτ.Π
ΙΩΑΝΝΙΝΑ 2006

2. Δεύτερον, ὅτι ὅλον τὸ ἀγαθὸν καὶ κακὸν τῶν ἔξω ἐνεργειῶν οὐκ ἤρτηται τῆς θελήσεως· πρὸς γὰρ τὸ εἶναί τι κακὸν καὶ μία στέρησις ἀρκεῖ, πρὸς δὲ τὸ εἶναι ἁπλῶς ἀγαθὸν ὁλόκληρον ἀγαθὸν ζητεῖται· ὅθεν οὐ μόνον κατὰ τὸν σκοπὸν τοῦ τέλους, ἀλλὰ καὶ τὴν τοῦ λόγου ἀντίληψιν δεῖ τὰς ἔξωθεν ἐνεργείας ἁπλῶς εἶναι τοιαύτας.

f. 97 3. Τρίτον, ὅτι ἡ αὐτή ἐστιν ἀρετὴ καὶ κακία τῆς τε θελήσεως καὶ τῆς ἔξωθεν ἐνεργείας· ἡ γὰρ τῆς θελήσεως ἐνέργεια ὡς εἶδός ἐστι τῆς ἔξωθεν ἐνεργείας· ἐκ δὲ τοῦ εἰδικοῦ καὶ ὑλικοῦ γίνεταί ἕν τι.

4. Τέταρτον, ὅτι ἡ ἔξωθεν ἐνέργεια προστίθησι τῇ κακίᾳ ἢ ἀρετῇ τῆς ἔνδον ἐνεργείας. Εἰ γὰρ μὴ τοῦτ' ἦν, ὁ θέλησιν ἔχων ἀγαθὴν μάτην ἂν περὶ τὸ ἀγαθὸν ἔργον ἐπόνει, ἢ ἀφίστατο τοῦ κακοῦ· τότε δέ ἐστι τελεία ἡ θέλησις, ὅταν παύηται τῆς ἐνεργείας διὰ τὴν τοῦ ποιεῖν ἀδυναμίαν.

5. Πέμπτον, ὅτι τὰ ἐπακολουθοῦντα οὐκ ἀμείβει τὴν ἐνέργειαν, οἷον εἴ τις δοίη ἐλεημοσύνην πένητι, ᾗ ἐκεῖνος ἀπεχρήσατο πρὸς τὴν ἁμαρτίαν, οὐδεμία ζημία γίνεται τῷ ἐλεήμονι· ὁμοίως καὶ εἴ τις μακροθύμως ὑπομείνειε τὴν ἐπενεχθεῖσαν αὐτῷ ἀδικίαν, οὐ διὰ τοῦτο συγγνώμης ἄξιος ὁ ποιήσας· ἁπλῶς γὰρ τὴν δύναμιν τῆς αἰτίας ἐκ τῶν καθ' αὑτὴν ἀποτελεσμάτων, οὐκ ἐκ τῶν κατὰ συμβεβηκὸς λογιζόμεθα.

6. Ἕκτον, ὅτι ἀδύνατον μίαν ἐνέργειαν τὴν αὐτὴν ἀγαθὴν εἶναι καὶ κακήν· οὐδὲν γὰρ κωλύει εἶναί τι ἕν, καθόσον ἐστὶν ἕν τινι γένει, καὶ αὖ πολλαπλοῦν, καθόσον ἐφ' ἕτερον ἀνάγεται γένος, ὥσπερ ἡ συνεχὴς ἐπιφάνεια μία μὲν ἔστιν, ᾗ ἐστιν ἐν τῷ τῆς ποσότητος γένει, πολλαπλῆ δέ, ᾗ ἀνάγεται ἐν τῷ τῆς ποιότητος, εἰ μέρει μὲν λευκή, μέρει δὲ μέλαινα εἴη. Ἐν τῷ γένει τοίνυν οὕτω τοῦ ἤθους, ἀδύνατον μίαν ἐνέργειαν ἀγαθήν τε εἶναι καὶ κακὴν ἠθικῶς· εἰ δέ ἐστι μία ἑνότητι φύσεως, ἀλλ' οὐχ ἑνότητι ἤθους, δύναται καὶ πονηρὰ εἶναι καὶ ἀγαθή, οἷον φέρε εἰπεῖν βάδισις μία, τῆς τοῦ βαδίζοντος θελήσεως μεταβληθείσης, ἥ ἐστι τοῦ ἤθους ἀρχή, φυσικῶς μία τῷ γένει, ἠθικῶς δὲ πλείους.

## XXI. — Περὶ τῶν ἑπομένων ταῖς ἀνθρωπίναις ἐνεργείαις καθὸ εἰσιν ἀγαθαὶ ἢ κακαί.

1. Περὶ τοῦτο πρῶτον δείκνυται ὅτι ἡ ἀνθρωπίνη ἐνέργεια, καθόσον ἐστὶν ἀγαθὴ ἢ πονηρά, λόγον ὀρθότητος ἢ ἁμαρτίας ἔχει. Τὸ γὰρ ἀγαθὸν τῆς ἀνθρωπίνης ἐνεργείας ἤρτηται ἀρχοειδῶς τοῦ αἰωνίου νόμου, καὶ ἐν
f. 97v τῷ διαφωνεῖν αὐτοῦ τὸ κακὸν αὐτῆς συνίσταται· | τοῦτο δὲ ἁμαρτήματος λόγον ποιεῖ, ὡς Αὐγουστῖνος ἐν τοῖς κατὰ Φαύστου.

2. Δεύτερον, ὅτι ἡ ἀνθρωπίνη ἐνέργεια, καθὸ ἀγαθὴ ἢ κακή, ἐπαινετή ἐστιν ἢ ψεκτή· κατὰ γὰρ τὸν Φιλόσοφον, ἐπαινετά εἰσι τὰ τῶν ἀρετῶν ἔργα, καὶ τοὐναντίον αὖ· τὰ δὲ τῆς ἀρετῆς ἔργα, ἀγαθά· ἀρετὴ γάρ, ἡ ἀγαθὸν ποιοῦσα τὸν ἔχοντα καὶ τὸ ἔργον αὐτοῦ ἀγαθὸν ἀποδιδοῦσα, ἐν

Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

τοῖς ἠθικοῖς ὁ Φιλόσοφος λέγει. Εἰ δὲ τὰ ἐν τοῖς φυσικοῖς ἁμαρτήματα οὐκ ἐπίψογα, ἀλλ' αἱ φυσικαὶ ἐνέργειαι οὐκ εἰσὶν ἐν τῇ δυνάμει τοῦ φυσικῶς ἐνεργοῦντος διὰ τὸ τὴν φύσιν ἐφ' ἓν ὡρίσθαι, καὶ διὰ τοῦτο τὰ ἐν αὐτοῖς ἁμαρτήματα οὐκ ἐπάγει ψόγον.

3. Τρίτον, ὅτι ἡ ἀνθρωπίνη ἐνέργεια διὰ τὴν ἰδίαν ἀρετὴν ἢ πονηρίαν μισθῶν ἐστιν, ἢ τιμωριῶν ἀξία· ἐν γὰρ τῷ τρίτῳ τοῦ Ἡσαΐου λέγεται· „Λέγετε τῷ δικαίῳ καλῶς, ὅτι τὸν καρπὸν τῶν εὑρημάτων αὐτοῦ φάγεται. Οὐαὶ τῷ ἀσεβεῖ εἰς τὸ κακόν· ἡ γὰρ ἀνταπόδοσις τῶν χειρῶν αὐτοῦ γενήσεται αὐτῷ".

4. Τέταρτον, ὅτι καὶ τοιαύτη κρίνεται παρὰ τῷ Θεῷ, ὡς ἐν τῷ ἐσχάτῳ τοῦ Ἐκκλησιαστοῦ λέγεται· „Πάντα τὰ γινόμενα παράξει Κύριος εἰς κρίσιν, εἴτε ἀγαθόν, εἴτε κακόν"· ἡ δὲ κρίσις ἀνταποδόσθαι εἵνεκα γίνεται. Εἰ δὲ ἡ ἀμοιβὴ ἢ ἡ κόλασις τάξιν σημαίνει ἀντισηκῶσθαι τῆς ἑτέρῳ ἐπενηνεγμένης ὠφελείας ἢ βλάβης, ἐν δὲ τῷ τριακοστῷ πέμπτῳ τοῦ Ἰὼβ λέγεται· „Ἐὰν ἁμάρτῃς, τί βλάψεις αὐτόν; ἐὰν δὲ καὶ δίκαια ποιήσῃς, τί αὐτῷ χαρίσῃ"; ἀλλὰ ῥητέον ὅτι, εἰ καὶ μὴ κατὰ τὸν Θεόν, ἀλλὰ τὸ καθ' ἑαυτὸν ἀφαιρεῖ τι ὁ ἄνθρωπος τοῦ Θεοῦ, ἢ δίδωσιν αὐτῷ τῷ τηρεῖν, ἢ μὴ τηρεῖν τὴν ἐξ αὐτοῦ καθεστῶσαν τάξιν. Εἰ δὲ καὶ κινεῖται ὁ ἄνθρωπος ὑπὸ τοῦ Θεοῦ, ἀλλ' ὡς ὄργανον, ὥστε μὴ διὰ τοῦτο ἀναιρεῖσθαι τοῦ κινεῖν ἑαυτὸν διὰ τοῦ αὐτεξουσίου, καὶ διὰ τοῦτο αἱ ἴδιαι ἐνέργειαι τιμῶνται, ἢ κολάζονται ἑκουσίως.

## Des passions.

### *ΠΕΡΙ ΤΩΝ ΠΑΘΩΝ ΤΗΣ ΨΥΧΗΣ ΓΕΝΙΚΩΤΕΡΟΝ.*

### XXII. — Πρῶτον περὶ τοῦ ὑποκειμένου αὐτῶν.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ἔστι τι πάθος ἐν τῇ ψυχῇ· τὸ γὰρ πάσχειν λέγεται ἕνα μὲν τρόπον κοινῶς, καθ' ὃ πᾶν τὸ δέχεσθαι πάσχειν ἐστίν, εἰ καὶ μηδὲν τοῦ πράγματος | φθείροιτο, ὥσπερ ἂν εἴ τις λέγοι τὸν f. 98
ἀέρα πάσχειν, ὅταν φωτίζηται· τοῦτο δὲ κυριώτερον τελειοῦσθαι ἂν λέγοιτο ἢ πάσχειν· ἰδίως δέ, ὅταν τι δέχηται μετὰ τῆς τοῦ ἑτέρου ἀποβολῆς, καὶ τοῦτο διχῶς· ἢ γὰρ τὸ μὴ οἰκεῖον ἀποβάλλει, ὡς ὅταν πάσχῃ ὑγιαζόμενον· ἢ τὸ οἰκεῖον, ὡς ὅταν πάσχῃ νοσοῦν, καὶ οὗτος ὁ τοῦ πάθους ἰδιαίτερος τρόπος. Καθ' ἕκαστον δὲ τῶν τριῶν δυνατὸν εἶναι πάθος ἐν τῇ ψυχῇ· κατὰ μὲν γὰρ τὸ δέχεσθαι μόνον, τὸ αἰσθάνεσθαι καὶ νοεῖν πάσχειν τι λέγεται· τὸ δὲ μετὰ τῆς ἀποβολῆς πάθος κατὰ τὴν σωματικὴν μόνον μεταβολήν ἐστιν. Ὅθεν τὸ ἰδίως λεγόμενον πάθος κατὰ συμβεβηκός ἐστιν ἐν αὐτῇ, καθόσον δηλονότι τὸ σύνθετον πάσχει, εἰ κἂν τούτῳ διαφορά τίς

---

7 Is. 3, 10   11 Eccle. 12, 14   15 Iob, 35, 6

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006